στείχειν ἔμπορον οἶ᾽ ἀλάταν
ἐπ᾽ ἀλλοδαμίαν,
8 ἰσχυρόν τε καὶ ἄλκιμον
9 ὧδε καὶ θρασύν, ὃς τ⟨οσ⟩ούτων
ἀνδρῶν κρατερὸν σθένος
11 ἔσχεν; ἦ θεὸς αὐτὸν ὁρμᾶι,
δίκας ἀδίκοισιν ὄφ¦ρα μήσεται·
13 οὐ γὰρ ῥάιδιον αἰὲν ἔρ-
δοντα μὴ ᾽ντυχεῖν κακῶι.
15 πάντ᾽ ἐν τῶι δολιχῶι χρόνωι τελεῖται.
Δ′ ⟨ΑΙΓ.⟩ 1 Δύο οἱ φῶτε μόνους ἁμαρτεῖν
λέγει, περὶ φαιδίμοισι δ᾽ ὤμοις
3 ξίφος ἔχειν ⟨⏑⏑–⏑––⟩
ξεστοὺς δὲ δύ᾽ ἐν χέρεσσ᾽ ἄκοντας
col 9 (38) 5 κηΰτυκτον κυνέαν Λάκαι-
ναν κρατὸς πέρι πυρσοχαίτου·
χιτῶνα πορφύρεον
8 στέρνοις τ᾽ ἀμφί, καὶ οὔλιον
9 Θεσσαλὰν χλαμύδ᾽· ὀμμάτων δὲ
στίλβειν ἄπο Λαμνίαν
11 φοίνισσαν φλόγα· παῖδα δ᾽ ἔμμεν
πρώθηβον, ἀρηΐων δ᾽ ἀθυρμάτων
13 μεμνᾶσθαι πολέμου τε καὶ
χαλκεοκτύπου μάχας·
15 δίζησθαι δὲ φιλαγ¦λάους Ἀθάνας.